Θεωρῶντα οἱ Βενετίκοι πῶς ἦρταν οἱ Σαρακηνοὶ εἰς τὴν Λευκωσίαν καὶ δὲν ἐτορμοῦσαν(3) νὰ 'μποῦν ἔσω εἰς τὴν χώραν, ἐπῆγεν ὁ σὶρ Γιουσὲφ 'Αουτὰτ(4) καὶ ὁ ἀδελφός του ὁ σὶρ Πέχνας, καὶ ὁ σὶρ 'Αμποῦς 'Αουτὰτ καὶ ὁ σὶρ Χίμης, καὶ οὗλα τ' ἀδελφία, καὶ ὁ σὶρ Πατὶ Γουνέμε, [καὶ ἐξέραν τὴν γλῶσσαν,] καὶ ἄψα λαμπάδες καὶ ἐπροσδέκτησάν τους, καὶ ἐδῶκάν τους καρδίαν καὶ ἐμπῆκαν(5) εἰς τὴν θαυμαστὴν Λευκωσίαν. Τότες ἔρχουνταν καὶ ἐζητοῦσαν ἐφφίκια, ὁ μισὲρ Τζουὰν Φλάτρος [καὶ ἐγίνην] γραμματικὸς τοὺς λογαριασμοὺς τῶν ἐμπαλίων, καὶ ἔδειξέν τους καὶ τὰ 'σοδία(6) τῆς ῥηγάδας. Καὶ τότες ἐδιαλαλῆσαν πᾶσα ἄνθρωπος νὰ ἔρτῃ ἔσω του νὰ πολομᾷ ταῖς δουλιαῖς του· ἄλλους ἐδώκασιν σαγίτταις σημάδιν, νὰ μὲν ἔχουν φόβον· καὶ ὅλα ἦσαν ψέματα(7). Τότες ἐφθόνησεν ὁ Μανόλης ὁ 'Ασκᾶς καὶ εἶπεν τοὺς Σαρακηνοὺς καὶ ἐγράψαν χαρτὶν καὶ ἐπέψαν το τοῦ Στασὶ(8) τοῦ Γούλου, ὑπὸ χειρὸς τοῦ σὶρ Πατὶν (Γο)νέμε, καὶ ἐκομπῶσάν τον καὶ ἦλθεν ἀπὸ τὸν ἅγιον Νούφρην ἀπὸ τ' ἀμπελία του, καὶ ἦρτεν διὰ νὰ δείξῃ τὰ 'σοδία(9) τῆς ῥηγάδας, καὶ διὰ νὰ τὸν ποίσουν πράκτορον(10). Καὶ τὸ νὰ ἰδῇ ἡ ἀρμάδα τοὺς Σαρακηνοὺς, τὸ πῶς ἦλθαν τὰ ξύλα τοῦ ῥηγὸς ἀφὸν τὰ ἀπολογιάσαν, ἀπὸ τὸν φόβον τους ἐμηνύσαν τοῦ φουσάτου

1) Πουρνέλλην. — 2) πολλοὶ τῆς Λευκωσίας κοντὰ χίλιαις ψυχαῖς εἰς τὸ σπίτιν τοῦ παλίου ὅσον ἐμάθαν καὶ ἀναφάναν οἱ Σαρακηνοὶ εἰς τὴν Λευκωσίαν, καὶ ἐπῆραν καὶ τὸ ἀσημοχρούσαφόν τους καὶ ταῖς γεναῖκές τους καὶ τὰ παιδιά τους· τὸ πγοιόν. — 3) εἰς τὴν Ἁγίαν Μαρίναν καὶ ἐφοβοῦνταν. — 4) Ἀουτέτ. — 5) ἐμπάσαν τους. 6) 'σόδια. — 7) κομπώματα. — 8) Στάση. — 9) τοὺς ἐσόδους. — 10) πράκτορα.

νὰ στραφοῦν μοναῦτα· καὶ διὰ τοῦτον ἐγλύτωσεν ἡ Λευκωσία καὶ δὲν τὴν ἐκάψαν. Τότες ἐπῆγαν εἰς τὸ σπίτιν τοῦ παλίου, καὶ ηὗραν ὅτοσαις ψυχαῖς καὶ τόσον λογάριν, ὅτι ἐχορτάσαν καὶ ἐκουρσέψαν τα· καὶ ἐβάλαν λαμπρὸν εἰς τὴν πανθαύμαστην αὐλὴν τοῦ ῥηγὸς, καὶ ὀπίσω τοῦ φούντικος· [νοῦς ἀνθρώπου δὲν εἶναι νὰ 'πῇ τινὰς τὴν μεγαλότητάν του καὶ τὴν ὠμορφίαν του· 'δέτε ἂν ἦτον μέγας· καὶ εἶχεν μέσα δ' ἐκκλησίαις διὰ τοὺς δουλευτάδες καὶ λαὸν τὸν εἶχεν.] Καὶ ἐπῆράν τα καὶ ἐπήγασιν.

Καὶ τὴν παρασκευὴν ἐκατακουρσεῦσαν τὰ σπιτία, καὶ τοὺς ναοὺς τοῦ θεοῦ καὶ μοναστηρία, καὶ ἐπῆραν πολὺν βίον καὶ τοὺς χριστιανοὺς, καὶ ἐκουρσεῦσαν τὸν Σταυρὸν τὸν Μέγαν· καὶ τὸ λαμπρὸν ἔθελεν ποίσειν μεγάλην ζημίαν, ἀμμὲ ὁ Χάννας ὁ Δαμασκηνὸς καὶ ἡ κυρὰ ἡ Πέλλα ἡ Μουχρουτήνα δ' ἡμέραις καὶ ἐσβύσαν τα. Καὶ τὴ νύκτα ἐπῆραν τοὺς χριστιανοὺς καὶ βίος, καὶ ἐπῆγαν εἰς τὸ ἀνάθεμαν.

Καὶ ἄνταν ἐπῆγεν τὸ παράνομον φουσάτον, ἐσηκώθησαν τὰ σπιτία τοὺς λᾶς, καὶ ἐποῖκαν κούρση καὶ φόνους πολλούς· ὁμοίως ἕνας σορδάτος τοῦ ῥηγὸς ὀνόματι Σφόρτζα, ἐκούρτζεψεν ἔσω ὅσον ἔσωνεν, καὶ ἔθελε νὰ κρατήσῃ τὴν ἀφεντίαν μὲ τοὺς Σπανιόλιδες εἰς τὴν Πάφον. Ἔβαλαν οἱ χωργιάταις καπετάνον εἰς τὴν Λεύκαν, ἄλλον καπετάνον εἰς τὴν Λεμεσὸν, ἄλλον εἰς τὴν 'Ορεινὴν, καὶ εἰς τὴν Περιστερόναν ἄλλον, καὶ εἰς τοῦ Μορφου καπετάνον, καὶ εἰς τὸ Λευκόνικον ῥήγαν 'Αλέξην(1), καὶ ὅλοι οἱ χωργιάταις ἐδόθησαν εἰς τὴν ὑπόταξίν του· καὶ ἀνοῖξαν ταῖς ἀποθήκαις(2) καὶ ἐκουβαλοῦσαν τὰ κρασία τοὺς καλοπίχερους, ἕτεροι ἐπαῖρναν τὸ ψουμὶν ἀπὸ τ' ἁλώνια, ἄλλοι τὰ ζαχάριτα καὶ τὰ προδέλοιπα πράμματα τοὺς καλοὺς λᾶς. 'Ομοίως ἕνας 'Αρμένης καβαλλάρης ἔπαιρνεν τὴν γεναῖκάν του νὰ πάγῃ εἰς τὴν Πάφον, καὶ εἰς τὸ καπετανίκιν τῆς Λεύκας ἐδυναστέψαν τὴν γυναῖκάν του, καὶ κεῖνον ἐσκοτῶσάν τον. 'Ο πίσκοπος ὁ λατῖνος ὁ φρὲ Σαλαμοὺς ἐπήγαινεν πρὸς τὴν 'Αμμόχουστον, καὶ ἐπίασέν τον τὸ φουσάτον τοῦ ῥὲ 'Αλέξη, καὶ ἐκουρσεῦσάν τον καὶ ἐδέραν τον, καὶ ἐποῖκάν

1) ἐποῖκαν ἕναν ῥέ. — 2) τὰ ὀργιά.

του πολλὴν μεγάλην ἀντροπὴν, καὶ ἐσκαπίασεν ἀπὸ τὸν θάνατον. Καὶ πολλὰ κακὰ ἐποίκασιν, καὶ ὁ θεὸς δὲν τὰ βάσταξεν.

Γρικῶντα ὁ γαρδηνάλης ταῖς ἀπιστίαις καὶ κα(κὰ) τὰ ἐπολομοῦσαν οἱ λύκοι (1) καὶ χωργιάταις, ὠρδινίασεν κουβερνούρην τὸν σὶρ Πατὶ τὲ Νόρες τὸν μαριτζᾶν τῶν Ἱεροσολύμων, καὶ τὸν σὶρ Χαρρὴν τὲ Ζηπλὲτ, τὸν Περρὴν Μαχαιρᾶ τὸν βαχλιώτην τοῦ ῥηγὸς, μὲ φουσάτον καὶ ἦλθαν καὶ ἐπιάσαν τὴν Λευκωσία, καὶ ἐδιαλάλησε, πᾶσα ἄνθρωπος νὰ κάτζῃ φρόνιμα καὶ νὰ πολομοῦν ταῖς δουλιαῖς τους, ὡς γοῖον ἦσαν μαθημένοι, καὶ τινὰς μηδὲν τερμίσῃ νὰ ποίσῃ καμμίαν ἀγανάκτησιν, ἀπάνω εἰς τὸ κορμίν του (2). Καὶ ὠρδινίασεν τὸν φρὲ Ἄγγελον τοῦ Σπιταλίου, ὅπου ἦτον εἰς τὴν Πάφον ἐμπαλῆς, νὰ πάγῃ νὰ χαλάσῃ τὰ καπετανίκια τοὺς χωργιάταις μὲ τὸν Ἀντωνίε (3) Ταμιλᾶ· καὶ ἐπῆγαν καὶ ηὗραν τοὺς καπετάνους τοῦ Μόρφου καὶ τῆς Λεύκας (4), καὶ τοὺς μὲν (5) ἐφουρκίσαν, τοὺς δὲ ἐκόψαν ταῖς μούτταις τους (6), καὶ ἄλλοι ἐφύγαν· καὶ ἔπαψεν κακοσύνην (7) τοὺς καταραμένους χωργιάταις. Καὶ ὁ σὶρ Χαρρὴν τὲ Ζηπλὲτ μὲ τὸν Περρὴν Μαχαιρᾶ ἐπῆγεν εἰς τὴν Λεμεσὸν, καὶ ἐποίκασιν κρίσες ὡς καὶ εἰς τοῦ Μόρφου, καὶ ἐτερεπιάσαν (8) τὸν ῥὲ Ἀλέξην καὶ ἐφέραν τον εἰς τὴν Λευκωσίαν καὶ ἐκρεμμάσαν τον εἰς τὴν φούρκαν τῇ δευτέρᾳ εἰς τὰς ιβ' μαγίου ᾳυκζ' Χριστοῦ.

Καὶ τῇ κυριακῇ, κγ' νοεμβρίου ᾳυκς' Χριστοῦ ἦρτεν ὁ βαχλιώτης τοῦ Πάπα καὶ ἔφερεν τὸ [σ]κιάδιν τοῦ γαρδενάλη καὶ ταῖς βούλλαις διὰ νὰ ὀρδινιάσουν τὸν πρῶτον νοτάρην (9) γαρδενάλην· καὶ τὴν κυριακὴν εἰς τὰς λ' νοεμβρίου ἐφέραν τὸν πρῶτον νοτάρην συντροφιασμένον [μὲ πολλοὺς καβαλλάριδες καὶ ἐπῆράν τον] εἰς τὴν ἁγίαν Σοφίαν· ὁ κύρης Οὖγκε τὲ Λουζουνίας ἦτον πρωτοαποστολάριος, ἔτι ὑποψήφιος, ὕστερον (10) πρωτονοτάριος,

1) κλέφταις. — 2) κόμμαν κεφαλῆς. — 3) Ἀντώνην. — 4) εἰς τοῦ M. καὶ εἰς τὴν Λεύκαν καὶ ἕτερους. — 5) καὶ μερτικόν. — 6) των. — 7) εἰς τοῦτον τὸν μόδον ἔπαψεν ἡ κακωσύνη. — 8) ἐπιάσαν. — 9) πρωτωνοτάρην. — 10) πρῶτα ἀποστολὲς, τἄπισα ὑπ. τἄπισα.

τἄπισα εὐαγγελιστής· καὶ τὴν αὐτὴν ἡμέραν ἐποϊκάν τον γαρδεναλην διάκον(1) τοῦ ἁγίου Ἀνδρέου, καὶ ἐβάλαν του τὴν κάππαν τὴν σχαρλάτην(2) καὶ τὸ σκιάδιν, κατὰ τὸ δηλούμενον εἰς τὰ προβιλίζια τοῦ Πάπα.

Καὶ τὴν κυριακὴν εἰς τὰς κγ'(3) νοεμβρίου αὐτῆς ἐχρονίας ἦλθεν ὁ καλὸς Σουάρε(4) ἀπὸ τὸν ῥῆγα εἰς τὴν Κύπρον. Τἄπισα ἦλθεν ὁ φρὲ Ἄγγελος τοῦ Σαντομένικου ἀπὸ τὴν Ῥόδον, καὶ ὁ γαρδεναλης ἔδωκέν του ἀποκάμισα, βρακία καὶ ἕτερα ῥοῦχα νὰ 'πάρῃ τοῦ ῥηγὸς εἰς τὸ Κάριος. Τἄπισα ἔπεψεν τὸν σὶρ Ἐστιένε(5) Σπινόλα καὶ τὸν Τζάνους(6) τὲ Μουντὸλφ καὶ τὸν Ῥιτζὰτ(7) Καμιοῦς, καὶ τὸν Φρατζέσκον Σπίνολα μαντατοφόρους εἰς τὸν σουλτάνον, ἀπάνω εἰς τὴν γαλιάτζαν τοῦ Ματαίου Κόστα· τἄπισα ἐστράφη ὁ σὶρ Ἐστιένε(8) Σπινόλας μὲ χαρτία, καὶ ἐδιαβάσαν τα καὶ ἔδωκάν του ἀντίλογον, ὅτι ἦλθαν μὲ ξύλον Σαρακηνικόν. Ὁ γαρδεναλης ἔπεψεν τὸν Καρσεραὰν Σουαρὲ(9) ἀπάνω εἰς τὸ κάτεργον τοῦ ῥηγὸς, καὶ ἔπεψεν τὸν κύρῃν τοῦ Βεροντίου καὶ τὸν σίρε Ματαῖον Ῥάμες, καὶ τὸν σίρε Τομεσίον Δαμπαλίουν(10), τὸν Περρῆν Μπελεστρὶν(11) καὶ τὸν Τζὰκ δὰ Μπελονία(12), καὶ τὸν μάστρε Τουμασὶ Πίπη, καὶ τὸν σὶρ Κόλε Δελαπριντζέσε(13) τὸν πρωτοψάλτην τῆς ἁγίας Σοφίας, καὶ τὸν Γεώργιον τοῦ Κορόμηλου τὸν μάγειρόν του, καὶ ἀκομὴ ὁ γαρδεναλης ἔστειλεν τοῦ ῥηγὸς ἀπάνω εἰς τὴν γαλιάτζαν τοῦ Ματαίου σὶρ Κοὲτ(14), καθὼς ἄνωθεν δηλοῖ, τὸν σὶρ Ἐστιένε Σπινόλα, τὸν Φερὲτ τὸν τζουτζουμάνον(15) τοῦ σουλτάνου, τὸν Πελιγὲρ Φικερέλλο, τὸν Φρασὲ Σπινοὴλ, καὶ τὸν Ἀλέξην τὸν Γιακούπην τὸν βαχλιώτην τοῦ ῥηγός.

Καὶ τὴν δευτέραν ἐφέραν μαντάτον πῶς ὁ ῥήγας ἀνέφανεν εἰς τὴν Πάφον εἰς ταῖς ιβ' μαγίου ᾳυκζ' Χριστοῦ· καὶ τὴν αὐτὴν ἡμέραν ἐφουρκίσαν τὸν ῥὲ Ἀλέξην, καθὼς ἄνωθεν δηλοῖ, ὁ ποῖος ἦτον ἀγελάρχης(16) τοῦ ἐφικίου

1) διάκονον. — 2) σκαρλάτην. — 3) κβ'. — 4) Σουάρα. — 5) σὶρ Νεστόλε. — 6) Τζανούς. — 7) Ῥιτζᾶς. — 8) Ἐστιέ. — 9) ὁ ἀμιραλῆς ἔπ. τὸν Καρτζεραὰν Σουάρ. — 10) Δομένικον Δαμπαλίους. — 11) Πιληστρῆν. — 12) Τζάκον τὰ Πελόνια. — 13) Νικόλου Τελαμπριτζέσε. — 14) Κώσταν. — 15) Φρερὲς τὸν τζουρτζουμάνον. — 16) ἀελάρχης.

τῆς τζάμπρας τοῦ ῥηγὸς, πάροικος ἀπαὶ τὸ χωργίον τῆς Κατωμηλίας(1). Καὶ τὴν τρίτην, εἰς τὰς ιγ' μαγίου, ἦλθεν ὁ Τζένιος τὲ Μουντολήφ. Καὶ τὴν τετράδην, εἰς τὰς ιδ' μαγίου ἐπῆγεν ὁ γαρδενάλης εἰς τὴν Κερηνείαν νὰ ἐγδέχεται τὸν ῥῆγα, καὶ ἦτον μεσοπεντήκοστον, καὶ τὴν νύκταν ἐποίκασιν μεγάλην λυχναπίαν(2) εἰς τὴν Κερηνείαν· [καὶ] τὸ μεσανυκτικὸν ἀναφάναν τὰ ἄρμενα.

[Καὶ εἰς ταῖς ιε' μαγιοῦ τὸ γιόμαν ἦλθαν δύο κάτεργα ῥηάτικα καὶ ἕναν Ῥοδίτικον καὶ δύο νάβαις μὲ τοὺς σκλάβους, καὶ ἀπέζευσεν ὁ ῥήγας εἰς τὸ γειοφύριν τὸ ξυλένον τὸ 'ποῖκεν ὁ γαρδενάλης εἰς τὴν θάλασσαν, καὶ ἐκεῖ ἐχαιρέτησεν ὁ ῥήγας τὸν ἀδελφόν του τὸν γαρδενάλην καὶ τὸν υἱὸν του τὸν Τζουάνην· καὶ εἰς ταῖς ιη' μαγίου τὸ γιόμαν ἐνέβην ὁ ῥήγας εἰς τὴν Λευκωσίαν, καὶ ἐποῖκαν λιτανείαις καὶ ἐμπάσαν τον, ὁμοίως καὶ οἱ Ἑβραῖοι· καὶ ἐπῆγεν ὁ λαὸς ὅλος εἰς τὴν ἁγίαν Παρασκευὴν καὶ ἐμπάσαν τον. Καὶ ὁ ῥήγας ἐποῖκεν συμπαμμὸν μὲ τοὺς Σαρακηνοὺς καὶ ἔφερεν πολλοὺς σκλάβους ἀπὸ τὸ Κάργιος καὶ ἀπὸ τὴν Ἀλεξάντραν, τοὺς ποιοὺς ἐδῶκαν ἐκεῖ οἱ χριστιανοὶ πολλὰ ψυχικὰ, καὶ ἐπῆραν καὶ πολλοὺς εἰς τὴν Μπαρπαρίαν, ἄλλους εἰς τὴν Ἀλλάγιαν, ἄλλους εἰς τὴν Τουρκίαν.

Θάνατος τοῦ ῥὲ Τζένιου.

Καὶ εἰς ταῖς ι' ἰουνίου ᾳυλβ' ἔπεσεν ὁ ῥήγας εἰς μεγάλην ἀρρωστίαν καὶ ἐπιάστην, καὶ ἐποῖκεν ὁ θεὸς τὸ θέλημάν του ἀπαὶ τὸν καλὸν μας ἀφέντην τὸν ῥὲ Τζένιον, ὁπγοιὸς, ἀφὸν τὸν ἐπῆραν, πγειὸν δὲν ἐγέλασεν ἀπὸ τὴν πικρίαν του· ὁπγοιὸς ἐποῖκεν ἕναν χρόνον εἰς τὸ κρεββάτιν πιασμένος χέρια καὶ πόδια, καὶ ἐλαλοῦσαν πῶς τὸν ἐφαρμακέψαν οἱ Σαρακηνοί. Ἔκτισεν πολλὰ ἁπλίκια, ἐτέλειωσεν τὸ καστέλλιν καὶ τὰ σπίτια διὰ νὰ κάθεται, διατὶ ἡ αὐλὴ ἐκάην· ὁπγοιὸς ἦτον σοφὸς, δυνατὸς καὶ ἔμμορφος ἄνθρωπος καὶ καλός· καὶ ἀφὸν ἐπέθανεν ἡ γεναῖκά του, ἄλλην

1) τὴν Κάτω Μηλειάν. — 2) ὥρισεν ὁ γαρδενάλης καὶ τὴν νύκτα ἐποῖκαν μεγάλαις παρακάλεσες.

δὲν ἀγρώνισεν. Καὶ ἡ βουλή του δὲν ἀφῆκεν νὰ ποίσῃ τῆς ὄρεξείς του καὶ ἐξηλόναν τον· καὶ ἐβάλαν πολλὰ δανεικὰ, καὶ ἐψηφίσαν τὸ ἐδικόν του εἰς ἀσῆμιν καὶ χρουσάφιν, πέτραις, τζουέλλια, καὶ ἔξαζεν διακόσιαις χιλιάδες ὀνομίσματα, διότι οἱ Σαρακηνοὶ τὸ νησὶν αἰχμαλωτεῦσάν το, καὶ εὑρέθησάν του καὶ δύο χιλιάδες δουκάτα χρυσᾶ καὶ ἐπῆράν τα καὶ ἀγοράσαν τζαμιλόττια διὰ τὴν πάγαν τοῦ σουλτάνου.

Καὶ πρὶν νἀβγῇ ἡ φωνὴ καὶ ἐπαράδωκεν, ἐμπῆκαν ὅλοι οἱ ἀφένταις καὶ ἐποῖκαν ὅρκον τοῦ υἱοῦ του τοῦ ῥὲ Τζουάνη διὰ νὰ τὸν βλεπίσουν ὡς γοῖον ἀφέντην τους· καὶ τἄπισα ἐποῖκαν διαλαλημὸν καὶ ἐκηρύξαν τὸν θάνατον τοῦ Τζένιου· καὶ μοναῦτα ἐβάλαν φωνήν· Βίβα ῥὲ Τζουάνη.

Καὶ τῇ λ' ἰουνίου ἐθάψαν τὸν καλὸν ῥὲ Τζένιον εἰς τὸν Σὰν Τομένικον, καὶ ἐδῶκαν τοὺς κάτωθεν καβαλλάριδες ἐφφίκια, καὶ ἐβάλαν τοῦ ῥηγὸς συνβουλατόρους, τὸν σὶρ Πιὲρ Τελουζουνίαν τὸν θεῖόν του τὸν κούντην τῆς Τρίπολης καὶ κοντοσταύλης τῆς Κύπρου καὶ ἐκουβέρνιαζεν τὸ ῥηγάτον· καὶ ἐποῖκεν τὸν σὶρ Φιλίππουν Τελουζουνίαν τὸν πορνικὸν τοῦ αὐτοῦ κούντη μαρίτζαν τῆς Ἀρμενίας, καὶ τὸν σὲρ Καρτζερὰ Σουὰρ ἀμιραλῆν τῆς Κύπρου καὶ ἀφέντην Καισαρείας, καὶ τὸν σὶρ Τζὰ Τεκαφρὰ μαριτζὰν τῆς Κύπρου καὶ πράκτοραν, καὶ τὸν σὶρ Τζὰκ Τεφλουρὶ ἀδετούρην τῆς Κύπρου, καὶ τὸν σὶρ Ὀγκὲ Σουτὰν τζαμπερλάνον τῆς Κύπρου, καὶ τὸν μισὲρ Γιάκουμον Γούρρην νομοκριτὴν τὸν υἱὸν τοῦ σὶρ Νικὸλ Γούρρη, τὸν σὶρ Πιὲρ Πιλιστρῆν τουρκοπουλιέρην τῆς Κύπρου, καὶ τὸν σὶρ Ἔκτορ Δαμπαλίον νομοκριτὴν τοῦ συγκρίτου, καὶ σὶρ Ματέο Ῥάμες ἐποῖκάν τον καβαλλάρην, καὶ τὸν σὶρ Φραντζέσκον Τζαρνέρην νομοδιδάσκαλον, καὶ τὸν σὶρ Τζουὰν Σάλαχαν πουρζέζην καὶ ἐμπαλῆν τοῦ συγκρίτου. Καὶ τὰ ἄνωθεν ἐφφίκια ἔδωκέν τούς τα ὁ ῥὲ Τζουάνης καὶ ἐψήφισέν τους διὰ συμβουλατόρους.

Ὁ σὶρ Μπατὴν Τενόρες ὁ μαρίτζας τῆς Κύπρου εὑρίσκετον εἰς τὴν Πόλιν διὰ νὰ φέρῃ γραφὴν διὰ τὸν πρίντζην τὸν υἱὸν τοῦ Τζένιου· καὶ ἐπῆγεν εἰς τὴν Κωνσταντινόπολιν καὶ ἠῦρεν τὴν νύμφην ὁποῦ πῆγεν διὰ νὰ φέρῃ ν' ἁρμαστῇ ὁ ῥὲ Τζουάνης· ἐπέθανεν ἡ κόρη τοῦ βασιλέως ϙυλγ',

ἀπέσωσεν εἰς τὴν Κύπρον ὁ ἄνωθεν μισὲρ Μπατῆς καὶ ἐψηφίσαν τον μὲ τοὺς ἄλλους μ' συμβουλατόρους.

Καὶ τῇ κδ' αὐγούστου αυλγ' Χριστοῦ ἐστέφθην ὁ ῥὲ Τζουὰν Λαζανίας] ὑπὸ χειρὸς τοῦ φρὲ Σαλάμου, ἀπὸ τὸν ὄρδινον τοῦ Σὰν Τομένικου ἐπίσκοπος (1) Ταρτούζας, εἰς τὴν ἁγίαν Σοφίαν. Καὶ εἰς τὸν αὐτὸν καιρὸν ἐφύσησεν (2) πολλὴ ἀκρίδα. Καὶ ἀπὸ ἀρχῆς ἰουνίου αυλη' Χριστοῦ, ἦλθεν ἕναν [μέγαν] θανατικὸν εἰς τὴν Λευκωσίαν καὶ εἰς τὰ χωρία καὶ ἐποῖκεν πολὺν θάνατον, καὶ ἀπάντησεν (3) μῆνες ιζ', [καὶ ἐπόθανεν λαὸς πολὺς εἰς ὅλην τὴν Κύπρον].

Καὶ τῇ κυριακῇ τῇ γ' ἰουλίου αυμ' Χριστοῦ ἤρτεν ὁ ῥὲ Τζουάνης μὲ τὴν συμβίαν του τὴν Μεδαία (4) εἰς τὴν ἁγίαν Σοφίαν καὶ ἐστέφθησαν, [ἡ πγοιὰ ἦτον ἀπὸ τὴν Φράντζαν]. Καὶ τῇ ιγ' σεπτεβρίου αυμ' Χριστοῦ ἐτελεύτησεν ἡ αὐτὴ ῥήγαινα Μετεγία (5), καὶ ἐθάψαν την εἰς τὸν Σὰν Τομένικον εἰς τὸ κιβοῦριν τῆς πεθερᾶς της.

Καὶ τὴν κυριακὴν τῆς Τυρινῆς, τῇ β' φευρουαρίου αυμα' Χριστοῦ ἦλθεν ἡ κυρὰ ἡ Ἑλένη Παλαιολόγου (6), κόρη τοῦ δεσπότου τοῦ Μορεᾶ (7) εἰς τὸν Ἅγιον Αὐξίβιον (8).

Καὶ τὴν τετράδην εἰς τὰς γ' φεβρουαρίου αυμα' Χριστοῦ ἐπῆγεν ὁ πιούρης (9) τῆς Ἀντιοχείας, ὁ τζανούνης ὁ υἱὸς τῆς Καρβούνας, καὶ ἅρμασεν τὸν ῥῆγα (10) μὲ τὴν αὐτὴν Ἑλένην (11).

[Καὶ ἔχοντα καὶ εἰς τοὺς αυνγ' ἔπηρεν ὁ ἄνομος Τοῦρκος τὴν Πόλιν τῇ κη' Μαΐου, ἐποῖκεν μεγάλην λύπην ἡ ἄνωθεν ῥήγαινα εἰς τὴν Κύπρον· καὶ ἦλθαν εἰς τὴν Κύπρον πολλοὶ καλοὶ ἄνδρες ἀπὸ τὴν Κωνσταντινόπολιν καὶ πολλοὶ καλογῆροι, καὶ διὰ νὰ τοὺς ἀναπάψῃ ἐπῆρεν τὸν ἅγιον Γεώργιον ἐπονομαζόμενον Μάγκανα, καὶ ἔκτισεν καὶ ἐποῖκέν τους μοναστῆριν, καὶ ἐχάρισεν χωργιὰ καὶ πολλαῖς ῥένταις διὰ νὰ μνημονεύγεται.

1) ἐπισκόπου. — 2) εἶχεν. — 3) ἀπέντησεν. — 4) Μετέα. — 5) Μετέα. — 6) Ἑλένα ἡ Παλαιολόγισσα. — 7) Μορεῶς. — 8) Ἐξίφην. — 9) πγιούρης. — 10) τὸν ἄνωθεν ῥὲ Τζουάνην. — 11) Ἑλέναν Παλαιολόγινα.

Καὶ εἰς τοὺς ᾳυνη' ἐπόθανεν ἡ ἄνωθεν ῥήγαινα Ἑλένα, καὶ ἐθάψαν την εἰς τὸν Σὰν Τομένικον.]

Καὶ τὴν τετράδην εἰς τὰς κδ' ἰουλίου ᾳυνη' Χριστοῦ ἐποῖκεν ὁ θεὸς τὸ θελῆμάν του ἀπὸ τὸν ἀφέντην μας τὸν ῥῆγα τὸν ῥὲ Τζουὰν τὲ Λαζανίαν, ὁ ποῖος ἐγεννήθην ἡμέραν δευτέραν, ὁ ποῖος ἐπόθανεν τὴν δευτέραν τὸ δεῖλις, καὶ ἐθάψαν τον εἰς τὸν Σὰν Τομένικον. Ὁμοίως ἐπόθανεν(1) εἰς τὸ αὐτὸν μοναστῆριν καὶ ἡ κόρη του ἡ Τζαρλόττα ἐκεῖ, ἡ ποία ἦτον χήρα ἀπού τὸν πρίντζην τοῦ λεγομένου Τζουὰν τὲ Κοπρέ· καὶ τὴν αὐτὴν ἡμέραν ἐδιαλαλῆσάν την ῥήγαινα κατὰ τὸ συνῆθιν. Καὶ ἐπόθανεν καὶ ἡ μητέρα της ὀμπρότερα τὸν πατέρα της ἡμέραις ο', ἡ ποία νὰ τὴν ἀναπαύσῃ καὶ 'κείνην καὶ 'κεῖνον ὁ θεός(2).

ᾳυνη' Χριστοῦ.

1) καὶ ἐκεῖ ἀπόθανεν. — 2) Ἡ πγοιὰ ῥήγαινα Ἔλενα ἐπέθανεν ὀμπροτήτερα ἡμέραις ἑβδομήκοντα παρὰ τὸ ἄντραν της· καὶ ὁ θεὸς νὰ τοὺς μακαρίσῃ.

APPENDICE.

I.

Éloge de Hugues IV, roi de Chypre, par Nicéphore Grégoras.

Nicéphore Grégoras, ayant quitté Constantinople à cause de ses disputes envenimées avec Grégoire Palamas, employa cinq ans (1345—1351) à visiter la Cilicie ou Petite-Arménie, Chypre, Rhodes, Crète et Négrepont. A Chypre, où il séjourna de préférence pendant longtemps, comme l'hôte de son ami Georges Lapithès, il sut se concilier de nombreuses sympathies dans la population et il en profita pour ses querelles religieuses. A l'époque où l'historien byzantin visita l'île (1350) une ère nouvelle venait d'être inaugurée par le roi Henri II, l'oncle du roi Hugues IV (1). Cette tranquillité et cette prospérité sans exemple dans l'histoire chypriote frappa si vivement l'esprit de Grégoras qu'oubliant ses anciennes rancunes de Grec contre les Latins, il ne fait qu'admirer le gouvernement-modèle de ce roi bon et juste, Hugues IV. Ce roi, en effet, fut le premier qui délivra la population grecque de l'esclavage où elle avait été réduite

1) Voy. M. Rey, *Familles d'Outremer*, p. 70.

par les premiers conquérants(1). Non seulement les serfs chypriotes, appelés *perpyriari*, furent proclamés libres moyennant une rançon d'argent(2), mais aussi des esclaves chrétiens vendus auparavant sur des marchés de Chypre furent délivrés grâce à la pitié de généreux Chrétiens. Suivant Grégoras, ce résultat fut dû surtout à l'éloquence et aux nobles sentiments de son ami Georges Lapithès qui devait sa position au roi Hugues IV(3). Cette renaissance paraît à l'historien byzantin un fait d'une importance capitale. Il recommande aux autres rois d'imiter la justice de Hugues IV; il promet de lui consacrer une partie de son histoire, et il lui adresse des lettres qui sont le plus grand éloge qu'un byzantin ait jamais fait à un prince étranger. Voici ce qu'il écrivait à Guy de Lusignan, héritier présomptif de la couronne d'Arménie et gouverneur de la ville de Serres, alors au service de Byzance(4) : Καὶ μάλιστα πάντων τοῦ τῆς Κύπρου ῥηγὸς ὁποίων καὶ ὅσων τὴν νῆσον ἐκεῖνος ἐνέπλησεν ἀγαθῶν κατὰ τὸν καιρὸν τῆς ῥηγικῆς τε καὶ ἀρχικῆς ἐξουσίας, καὶ πολιτείαν εὐνομουμένην καὶ στάθμην δικαιοσύνης καὶ συχνὰς ἐλευθερίας αἰχμαλώτων καὶ δεσμίων ἀφέσεις καὶ χρεῶν λύσεις καὶ ἀδικουμένων προστασίας, καὶ ὅσα μεγαλοπρέπειαν αὐθεντικὴν δημιουργεῖ, καὶ ὅσα τὴν νῆσον πέπραχεν ἐνδοξοτέραν, καὶ πρός γε ὅσα ἐπὶ τούτοις συνηθροικὼς ἔγωγε ταῖς ἐμαῖς τῆς ὅλης ῥω-

1) *Description de toute l'île de Chypre,* par R. P. Estienne de Lusignan, Paris 1850, f. 70. — 2) Machéras, p. 84. — 3) Le titre de *Mécènes de son siècle* est donné au roi Hugues IV par Lorédan (*Hist. des rois de Chypre,* Paris 1732, I, p. 382). On sait que c'est à ce prince que Boccace à dédié son ouvrage intitulé *Généalogie des Dieux.* — 4) Ms. grec de Paris, 3040, fol. 185, r°.

μαικῆς ἱστορίας ἐντέθεικα βίβλοις, ὑπόδειγμα κράτιστον τοῖς ἐν ἐξουσίαις εἰς μίμησιν τοῦ βελτίονος ἐφεξῆς.

L'histoire composée par Nicéphore Grégoras n'est pas encore connue entièrement. Parmi les livres qui ont été publiés, le XXV^e^ donne une idée exacte des réformes que le roi Hugues a introduites dans son royaume. Une grande partie de ce livre (§§ 7—11) est consacrée à l'île de Chypre et surtout à Georges Lapithès.

L'éloge du roi Hugues IV a été publié avec une version latine dans la Patrologie grecque de l'abbé Migne (vol. 145, col. 397—404) d'après l'édition donnée à Upsal en 1693, in 4°, par Laurentius Normannus. Le copiste du manuscrit dont s'est servi l'éditeur, ayant mêlé des opuscules de Grégoras et de son élève Théodule Magister, c'est sous ce dernier nom que figure l'éloge du roi Hugues dans la Patrologie grecque. Un autre manuscrit de la même bibliothèque, n° 3040, contient cet éloge dont le véritable auteur est Nicéphore Grégoras. Les rédacteurs du catalogue imprimé (vol. II, p. 600) l'ont attribué maladroitement à Jean d'Héraclée. M. Const. Sathas a démontré récemment(1) que tous les opuscules contenus dans ce dernier manuscrit appartiennent à Grégoras. Nous donnons de nouveau ici cet opuscule, en indiquant en note les différences qui existent entre l'édition de Migne ou plutôt de Laurentius Normannus et le manuscrit de Paris, n° 3040.

1) *Annuaire pour l'encouragement des Études grecques en France,* Paris 1880, p. 220, note.

Εἰς τὸν ῥῆγα τῆς Κύπρου.

Ὑψηλότατε, ἐνδοξότατε, εὐγενέστατε, λαμπρότατε, μέγα ῥὴξ τῆς Κύπρου καὶ Ἱερουσαλὴμ(1), οἱ πλεῖστοι τῶν εἰς τὴν μεγαλόπολιν ταυτηνὶ(2) καταιρόντων, ἐπειδὰν πολλὰς ἀμείψαντες χώρας καὶ πόλεις καὶ νήσους καὶ ἠπείρους, διηγεῖσθαι τὰς ἑαυτῶν περιόδους ἐθέλωσιν οἷς ἂν ἐντυγχάνωσι νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ μάλισθ' ὁπόσοι γλῶτταν ἔχουσιν(3) ἀρκοῦσαν ἐκ φύσεως ἐξαγγέλλειν τὰ τῆς διανοίας ἀπόρρητα, βελτίους ἑαυτῶν γίνονται μᾶλλον, ὅταν εἰς τοὺς σοὺς ἐπαίνους ἑαυτοὺς ἀπολύσωσι, καὶ τὰς ἡνίας τῆς γλώττης ἐνδῶσι· κἄπειτα ἐρωτώμενοι πρὸς τῶν ἀκουόντων, πῶς φύσει φιλοθεάμονες ὑπάρχοντες, καὶ πολλοὺς διεληλυθότες τόπους, καὶ πολλῶν ἀνθρώπων ἄστεα καὶ νόον ἐγνωκότες, τὴν τῆς Κύπρου μᾶλλον ὑμνοῦσι πολιτείαν, καὶ τὴν δικαιοσύνην τὴν σὴν, καὶ ὅσα πλουτεῖς ἀγαθὰ, ἐκεῖνο δὴ τὸ τῆς Ἀριστοτελικῆς σοφίας ἀπόφθεγμα μιμησάμενοι ἀποκρίνονται· ὡς γὰρ ἐκεῖνος ἐρωτηθεὶς διατί τοῖς καλοῖς μακρότερον ὁμιλοῦμεν, τυφλοῦ τὸ ἐρώτημα εἶναι ἀπεκρίνατο, οὕτω καὶ οὗτοι παρ' ὁτωνδήποτε ἐρωτώμενοι διατί τοῖς σοῖς ἐγκωμίοις ἐπιπλέον(4) ἐνδιατρίβουσι, καὶ γλυκύτητος γέμον ἡγοῦνται ἐντρύφημα τὰ σὰ διηγήματα, κωφοῦ φασὶν εἶναι τὸ ἐρώτημα. Τῶν γὰρ τοιούτων, ὡς εἴρηται, πολλάκις διηγουμένων τὰ κράτιστα τῶν σῶν ἀγαθῶν, καὶ πάντων ἀκουόντων καὶ θαυμαζόντων, ὅστις ἀνήκοος ἔμεινε, φασὶ, κωφὸς ἂν εἴη πάντως ἐξ αὐτῆς γενέσεως, καὶ τῆς βελτίονος λειπόμενος τῶν αἰσθήσεων· πολλῶν γὰρ πελαγῶν καὶ θαλασσῶν οὐσῶν(5) ὁπόσαι νήσους ἔχουσι μεγίστας τε καὶ ἐλαχίστας, καὶ ὁπόσαι μέσην ἔσχον θέσιν, οὔτ' ἐκ τῆς Ἰνδικῆς, οὔτ' ἐκ τῆς ἔξω τῶν Ἀτλαντίδων, οὔτ' ἐκ τῆς ἐντὸς καὶ ὅσην Ἡράκλειοι στῆλαι ὁρίζουσι, φήμη τις ἡμῖν ἀφίκετο(6) κλέος

1) καὶ Ἱερουσαλὴμ manque dans l'édition de Migne. — 2) ταύτην ms. Par. — 3) ἔχωσιν. Migne. — 4) τοῖς ἐγκωμίοις ἐπιπλέον τοῖς σοῖς. Migne. — 5) οὐσῶν manque dans le ms. de Paris. — 6) ἀφίλετο ms. Par.

ἐπιφερομένη τοιοῦτον, ἡλίκον καὶ οἷον ἡ Κύπρος ἡ σή· οὔθ' ἡ Χρυσῆ λεγομένη Χερρόνησος, οὔθ' ἡ τῶν ἀρκτικῶν τῆς οἰκουμένης προκαθημένη μερῶν Θούλη, οὔτε τῶν Βρεττανικῶν (1) οὐδεμία· ναὶ μὴν οὐδ' ἣν τῶν (2) ὅσοι πρὸς μεσημβρίαν καὶ νότον ἄνεμον οἰκοῦσιν Ἰνδοὶ καὶ Αἰθίοπες, θαυμαστὴ (3) τὸ μέγεθος Ταπροβάνη· ἀλλ' οὐδ' ἡ πλησίον καὶ γείτων τοῖς τῶν Ὑρκανῶν ἔθνεσι Κασπία· οὐδ' ὅση ἐκ Γαδείρων τε καὶ Ἡρακλείων (4) ἀρχομένη στηλῶν ἄνεισι μὲν ἄχρι καὶ ἐς τοὺς ὑπερβορείους ἔγγιστα Σκύθας, περατοῦται δ' ἐς Κύπρον τὴν σήν· ἢ μᾶλλον ἄρχεται μὲν ἐκ Κύπρου, περατοῦται δ' ἐς τὰς Ἡρακλείους στήλας· οὕτω γὰρ δικαιότερόν τε καὶ εὐπρεπέστερον λέγειν· δυοῖν γὰρ ὄντων ἄκρων τῆς ἡμέρου ταύτης καὶ ἡμετέρας θαλάττης, καὶ τοῦ μὲν τῆς περιβοήτου καὶ θαυμασίας προκαθημένης Κύπρου, τοῦ δ' ὑφ' Ἡρακλείων ὁριζομένου στηλῶν, νικᾶν ἔγωγε τίθεμαι τὰ πρεσβεῖα τὴν περὶ Κύπρον ἔχειν θάλασσαν, καὶ αὐτόθεν μᾶλλον ἠργμένην (5) τὴν ὅλην ταύτην λέγειν ὑγρὰν οὐσίαν, ἄχρι καὶ ἐς τὰς Ἡρακλείους κατιέναι καὶ περατοῦσθαι στήλας, ἢ τοὐναντίον. Καὶ τοῦτ' εἶναι τοῖς ἄκροις ἀμφοῖν ἔκ γε τοῦ νῦν ἐφεξῆς κανόνα καὶ νόμον ἔγωγε λέγω, τίθεσθαι δηλαδὴ τὴν ἀρχὴν τῇ καθ' ἡμᾶς ταύτῃ θαλάττῃ (6) ἐκ Κύπρου καὶ μὴ ἐξ Ἡρακλείων στηλῶν· καὶ γὰρ τὴν τὰ πάντα βόσκουσαν ἡλίου φλόγα, τὴν παγκόσμιον (7) φημὶ τῆς ἡμέρας λαμπάδα, ἐκεῖθεν ἀρχομένην ὁρῶσιν ἐξ αἰῶνος ἅπαντες ἄνθρωποι, ὅθεν ἡ Κύπρος πεφύτευται πρὸς θεοῦ, κἀκ τῶν μερῶν ἐκείνων ἡμῖν καὶ τὸ τῆς νοητοῦ ἡλίου καὶ Σωτῆρος ἡμῶν θεοῦ συγκαταβάσεως ὤφθη φῶς, καὶ τὸ τῆς παγκοσμίου χαρᾶς μυστήριον· ὡς εἶναι παρὰ τοσοῦτον ὡς ἀληθῶς (8) τὰ παρὰ τὰς Ἡρακλείους στήλας μέρη σκοτεινὰ καὶ ἀλαμπῆ καὶ ἄγρια, παρόσον τὰ παρὰ τὴν Κύπρον ἥμερα καὶ προσηνῆ καὶ λάμποντα, καὶ τέρποντα μὴ μόνον σώματα (9), ὅτι μὴ καὶ

1) βρετανικῶν. Migne. — 2) οὐδὲ τῶν. Migne. — 3) θαυμαστοί. ms. Paris. — 4) Ἡρακλέων. ms. Paris. — 5) ἠρμένην. ms. Paris. — 6) τῆς καθ' ἡμᾶς ταύτης θαλάττης. ms. Paris. — 7) πάγκοσμον. Migne. — 8) καὶ ἀληθῶς σκοτεινά. ms. Paris. — 9) σώματι. ms. Paris.

ψυχὰς αὐτὰς ὅσαι νοερῶς ὁρῶσι [τὸν] δι' ἡμᾶς σαρκωθέντα θεὸν Λόγον, καὶ παθόντα καὶ ἀναστάντα· καὶ συνελόντα φάναι, τοσοῦτο βελτίω(1) τῶν δυτικῶν τὰ ἕωθέν τε καὶ ἐκ Κύπρου, ὅσον ἀλήθεια ψεύδους· εἰ γὰρ τὰ μυθώδη πάντα ψεύδους ἀπόζοντα γέλωτα ὀφλισκάνει, ἦ που τὰ Ἡρακλέους ἅπαντα μύθοις καὶ πλάσμασιν ἐρειδόμενα, γέλωτά τε ὀφλισκάνει μακρὸν, καὶ χλεύην ἅπασαν ἐπισύρεται, ὥστε ποῦ τῶν εἰκότων τὰ ψευδῆ τῶν ἀληθῶν ἡγεῖσθαι, καὶ ἃ γέλωτος πέφυκεν ἄξια, τῶν ὑμνουμένων καὶ μακαριζομένων ἄρχειν, οὕτω πανταχόθεν εἰκότως ἡ σὴ τὸ δίκαιον ἔχει Κύπρος τὰ πρωτεῖα κομίζεσθαι.

Καὶ ταῦτα μὲν ἀμέσως ἐκ θεοῦ τ' ἀγαθὰ Κύπρῳ τῇ νήσῳ προϋπάρχοντα φαίνεται· ἃ δ' ἐκ θεοῦ διὰ σοῦ καὶ διὰ σὲ κράτιστον ὑπηρέτην εὑρημένον θεῷ προσγέγονέ τε καὶ ἐπεγένετο, τίς ἂν ἀξίως τῆς φήμης εἰπεῖν δυνηθείη; τίς δ' οὐκ ἀξίως εἰπὼν οὐκ ἂν αἰσχυνθείη, τὸν αὐτίκα ἔλεγχον ἔχων πρὸ ὀφθαλμῶν ἀνθιστάμενον; ἀδικίας μὲν γὰρ ἁπάσης κρηπῖδας τῆς νήσου ἐξώρισας, πανταχόθεν αὐτῆς ἀνελὼν, καὶ ἀφανισμῷ παντελεῖ παραδοὺς, δικαιοσύνην δ' ἀντεισήνεγκάς τε καὶ εἰσῳκίσω καὶ ᾠκειώσω, ἅτε τὰ πρῶτα φέρουσαν τῶν καλῶν καὶ ῥίζαν καὶ θεμέλιον εὐταξίας οὖσαν ἔσῃ τὰς πολιτείας κοσμεῖ καὶ ἁρμονίαν τοῖς ἀνθρωπίνοις ἐντίθησι πράγμασι πᾶσι, καὶ(2) τὸ πολέμιον ἅπαν ἐξοστρακίζει τῆς νήσου· νῦν μὲν πρὸ τῶν ὅπλων, νῦν δὲ σὺν τοῖς ὅπλοις, συναιρομένου θεοῦ τοῦ τὴν δικαιοσύνην διδάσκοντός τε καὶ ἐποπτεύοντος, οὐ λόγοις(3) μόνον τῆς ἀρετῆς κοσμῶν τὸ σεμνὸν, τὰς τῆς δικαιοσύνης δηλαδὴ πλάστιγγας καὶ τῶν τοιούτων κανόνων τὸ ἀρρεπὲς, ἀλλὰ καὶ πράξεσι καταλλήλαις βεβαιῶν(4) τὴν εὐκοσμίαν τῶν λόγων, δικαστὰς μὲν ἐπιστήσας κατ' ἐκλογὴν τοὺς ἀρίστους, φύλακας καὶ προστάτας τῆς ἰσηγορίας τε καὶ ἰσονομίας, ὡς μὴ λάθῃ διαρρυὲν τὸ συμφέρον, ἀγορανόμοι τε καὶ ὀψονόμοι καὶ δικασπόλοι διηνεκῶς περιΐασι τὰς ἀγορὰς

1) βελτίων. Migne. — 2) καὶ τὸ πολέμιον — ἐποπτεύοντος manque dans Migne. — 3) λόγῳ. Migne. — 4) ici s'arrête le ms. de Paris; ce qui suit appartient à l'édition de Migne.

καὶ πᾶσαν τὴν νῆσον, ἔφοροι τῶν ὠνίων καὶ πράσεων, καὶ φρουροὶ τῆς δίκης ἀκάματοι· ταξιάρχας τε καὶ τῆς εὐνομίας διοικητὰς μὴ μόνον τῶν δημοσίων πράξεων, ἀλλὰ καὶ τῶν ἐν τοῖς δήμοις ἠθῶν καὶ λόγων καὶ τρόπων, ὡς ἂν μαραίνηται μὲν καὶ ἀπῇ τὰ κακὰ, ὅσα τὴν τοῦ ψεύδους ἔχει προπέτειαν καὶ ἐπιορκίαν, θάλλῃ δὲ καὶ ἀνθῇ τὰ καλὰ, σεμνότης ἠθῶν, καὶ λόγων εὐστάθεια, καὶ γλώττης εὐσχήμων ἀλήθεια περὶ πᾶσαν τὴν νῆσον, καθάπερ ἄνθη κατ' ἀγροὺς καὶ ζέφυρος ἐν θέρει, τέρποντα καὶ νοῦν καὶ λόγον καὶ αἴσθησιν περιφανῶς. Οἶμαι δὲ καὶ Πλάτων, εἰ περιῆν, ἐμιμήσατό σε ἂν, καὶ ἠγάπησε τὴν σὴν ταυτηνὶ πολιτείαν μᾶλλον ἢ τὴν αὐτῷ νομοθετηθεῖσαν πάλαι, καὶ τοῦ συνεχῶς εἰς Σικελίαν ἀφέμενος πλεῖν, ἔπλει ἂν μᾶλλον εἰς Κύπρον ἕνεκα σοῦ καὶ τῆς σῆς πολιτείας τε καὶ νομοθεσίας.

Τῶν δὴ τοιούτων τῆς νήσου ταύτης ἀρετῶν αἴτιος μὲν σὺ, αἴτιος δ' ἡ σὴ δικαιοσύνη, βάσις γενομένη καὶ κρηπὶς καὶ θεμέλιος ἀκλόνητος τῆς καλῆς οἰκοδομίας σὺν ἁρμονίᾳ καὶ στάθμῃ κρατίστῃ. Τοῖς γὰρ τοιούτοις χρηστοῖς συνοικοδομεῖται καὶ ἐποικοδομεῖται καὶ τὸ κράτιστον τῆς ἀγάπης καὶ διὰ πάσης ἔρχεται τῆς ἐργασίας· καθάπερ χρῶμα χρυσοῦν ἐπανορθοῦν καὶ νέμον εὐφροσύνην ψυχῇ τε καὶ σώματι, ἢ μᾶλλον καθάπερ τις δεσμὸς περισφίγγων καὶ συναρμολογῶν τὴν ὅλην τῶν εἰρημένων συνθήκην καλῶν. Ἄνευ γὰρ ἀγάπης οὐδὲν τῶν ἀγαθῶν ἀγαθόν· αὕτη γάρ σοι καὶ τῆς φιλοξενίας γέγονεν αἰτία σαφὴς, καὶ πάντων μὲν, μάλιστα δ' ἁπάντων τῆς τῶν αἰχμαλώτων ἐλευθερίας, ὁπόσοι πλανῶνται μὲν περιφερόμενοι καὶ περιαγόμενοι πανταχοῦ τῆς οἰκουμένης, καὶ τῶν τῆς αἰχμαλωσίας πειρῶνται δεινῶν· ἐπὰν δ' ἐς τὴν σὴν ἀφίκωνται Κύπρον, ἀφικνοῦνται δ' ὅσοις ἂν εὐμενέστερον ὀφθαλμὸν ἐπιβάλῃ θεὸς, εὐθὺς καὶ μεταβολὴν ὁρῶσι βίου, καὶ δυστυχίας ἀπαλλαγὴν, καθάπερ λέπρας κάθαρσιν θαυματουργοῦντος Χριστοῦ· ὡς γίνεσθαι παράδοξον τρόπον τὴν ἀπορίαν εὐπορίας μητέρα, καὶ τὴν δυστυχίαν εὐδαιμονίας πηγήν· ὅσα γὰρ αἰχμαλωσίαις ἕπεται δεινὰ, καὶ οἷς ἐπαρῶνται πάντες καὶ ἀπεύχονται μὴ τυχεῖν, πάντα ταῦτα εἰς εὐχῆς

μετενήνεκται λῆξιν αὐτοῖς, ὁπόσοι τῆς σῆς πεπείρανται νήσου, καὶ τοῖς σοῖς προσέσχον τὴν γνώμην χρηστοῖς. Οὐ γὰρ ἐστὶ λέγειν ὡς ὁ τῆς τύχης ἔρριψε κύβος αὐτόθι σφᾶς, οὐδ' ὅτι ἄδηλα φώων χρόνος ἔδειξε τοῦτο τοῖς ταλαιπώροις καινόν· ἀλλ' ἡ καλῶς τε καὶ εὐμενῶς ἄνωθεν αὐτοῖς διατεθεῖσα θεία πρόνοια καλῶς καὶ τούτους εἰς τὴν σὴν ἐπικράτειαν ἤνεγκεν, ὡς καταστῆναι τὸ πάνυ τοι χαλεπὸν τῆς αἰχμαλωσίας δεινὸν εὐθυμίας ἀρχὴν, καὶ πρᾶγμα ῥᾷστα πεῖθον μὴ παντάπασιν ἐπαρᾶσθαι, ἀλλά πως καὶ εὐχαριστεῖν τοῖς τὴν αἰχμαλωσίαν ἐπαγαγοῦσι τὴν πρώτην κατ' αὐτῶν. Οὕτω πάντας ταῖς ἀγαθαῖς σου κατέπληξας φήμαις, καὶ πρὸς τοὺς σοὺς ἔρωτας ἄγεις ῥᾳδίως καὶ πόρρωθεν, ὅσοι τῶν φιλοκάλων καὶ φιλαρέτων εἰσὶ, καὶ ὅσοι τῶν λογίων καὶ σοφῶν ἀκούοντες πρὸς τῶν αὐτόθεν ἀεὶ καταιρόντων ἐνθάδε καὶ διηγουμένων ταῦτά τε καὶ πλείω τούτων, καὶ μάλιστα πάντων, ὅτι κἀκ τῆς θέας αὐτῆς σέ φασι καὶ τῆς τῶν ὄψεων χάριτος ἥκειν εὐθὺς ὥσπερ ἐγγοητεύοντα ταῖς τῶν ὁρώντων ψυχαῖς χάριν τιν' ἀπόρρητον, καὶ ὅπερ ἐπὶ τῶν ἡλιακῶν τῶνδε ἀκτίνων τῆς οὐρανίας λαμπάδος γιγνόμενον βλέπομεν.

II.

Chansons de la reine et d'Arodaphnousa.

Le peuple chypriote chante encore les amours de Pierre Ier de Lusignan et la vengeance de la reine Éléonore contre la maîtresse du roi, Jeanne L'Aleman. Nous empruntons à l'intéressant recueil de M. A. Sakkélarios(1) les deux chansons suivantes qui se rapportent à l'épisode dramatique raconté avec tant de détail par le chronographe chypriote (pages 127—145).

Ἄσμα τῆς Ῥήγαινας καὶ τῆς Ἀροδαφνούσας.

Κἄπου 'στράφτει, κἄπου βροντᾷ, κἄπου χαλάζι ῥίβκει·
μηδὲ 'στράφτει, μηδὲ βροντᾷ, μηδὲ χαλάζι ῥίβκει,
μόνο ἕνι ἡ Ῥήαινα, ταῖς σκλάβαις της 'ξανοίει,
ποίαν ἀαπᾶ ὁ Ῥήας της, κἠ σκλάβαις της τῆς λέσιν.
« Πάνω 'ς τὴν 'πάνω γειτονιὰν ἔχει τρεῖς ἀερφάες,

1) Τὰ Κυπριακὰ, vol. III, Athènes 1868, p. 39—46. Cf. C. Sathas *(Biblioth. gr. med. aevi*, vol. II, préf. p. 96 et 161) et l'étude de M. Gidel sur la chanson d'Arodaphnousa (*Nouv. études sur la littér. gr. mod.*, Paris, 1878 in 8°, p. 445—475).

τὴν μιὰν τὴν λέσιν ἡ 'Ροδοῦ, τὴν ἄλλην ἡ 'Αθθοῦσα,
κὴ τρίτη κὴ καλλίτερη ἔν' ἡ 'Αροδαφνοῦσα·
'Ροδοῦ ἔν' ποῦ τὸν ἀαπᾷ, κὴ 'Αθθοῦσα τὸν φιλάει,
κὴ τρίτη ἡ καλλίτερη στρώνει του καὶ πλαϊάζει»·
«Ποῦ τῶμαθεν ὁ βασιλεᾶς καὶ πάει καὶ κονέβκει!»
Τὸ ἔμαθεν κὴ 'Ρήαινα ἀρκώθη καὶ 'θυμώθη,
χαππάρκα καὶ μηνύματα τῆς 'Ροδαφνοῦς νὰ πάῃ.
«Κὴ ἄνου νὰ πᾷς, 'Αροδαφνοῦ, κὴ 'Ρήαινα σὲ θέλει.»
«Καὶ μένανε ἡ 'Ρήαινα ποῦ μ' ἔδεν, ποῦ μ' ἐξέρει;
κὴ ἂν μὲ θέλῃ μαείραιναν, νὰ πιάσω ταῖς κευτάλαις,
καὶ ἂν μὲ θέλῃ γιὰ χορὸν, νὰ πιάσω τὰ μαντήλια.»
«Κὴ ἄνου νὰ πᾶμεν, 'Ροδαφνοῦ, κὴ ὡς γοιὰν ἂν θέλῃς πᾶμεν.»
Καὶ ἔμπην ἔσω κὴ ἄλλαξε ῥοῦχα τῆς φορεσιᾶς της,
μήτε μακρειὰ, μήτε κοντὰ, ἴσια τῆς ἡλικιᾶς της·
'παπέσω 'φόρησε χρουσᾶ, 'παπέζω χρουσταλλένα,
τέλεια 'ποπάνω 'φόρησε τὰ μαρκαριταρένα·
χρουσὸν μῆλον 'ς τὸ χέριν της καὶ παΐζει το καὶ πάει.
Στέκεται, διαλοΐζεται πῶς νὰ τὴν χαιρετήσῃ·
«καὶ ἂν τῆς 'πῶ μουσκοκαρφειὰ, μουσκοκαρφειὰ λυΐζει·
καὶ ἂν τῆς 'πῶ κληματαρκὰ, κληματαρκά 'χει κόμπους·
καὶ ἂν τῆς 'πῶ τρανταφυλλειὰ, τρανταφυλλειά 'χει 'γκάθια,
καὶ ἂς τὴν χαιρετήσωμεν 'σὰν πρέπει, 'σὰν ἀξίζει».
Καὶ πιάνει τὸ στρατὶν στρατὶν κὴ σῦλον τὸ μονοπάτιν,
τὸ μονοπάτιν 'βκάλλει την 'ς τῆς 'Ρήαινας τὰ σπίτια·
ἀνέβην ἕναν τὸ σκαλὶν, καὶ 'σούστη καὶ 'λυΐστη,
ἀνέβην κὴ ἄλλον τὸ σκαλὶν καὶ 'νιφτοκανακίστη·
τέλεια 'ς τὸ 'πάνω τὸ σκαλὶν κ' ἡ 'Ρήαινα τὴν 'νοιώθει,
φωνάζει καὶ τῆς σκλάβας της τσαέραν γιὰ νὰ φέρῃ.
— Κὴ ὥρα καλή σου, 'Ρήαινα — Καλῶς τὴν πέρτικάν μου,

Καλῶς ἦρτες, Ἀροδαφνοῦ, νὰ φᾷς νὰ πιῇς μητά μας,
νὰ φᾷς τὸ ἄδριν τοῦ λαοῦ, νὰ φᾷς ὀφτὸν περτίκιν,
νὰ φᾶς ἀρκοκεράμυον 'ποῦ τρῶν ἀντρεικωμένοι,
νὰ πιῇς γλυκόποτον κρασὶν 'ποῦ πίνουν φουμισμένοι,
ὁποῦ τὸ πίνουν ἄρρωστοι καὶ 'βρέθουνται γιαμένοι.
— Ἐγὼ 'ἐν ἦρτα, Ῥήαινα, νὰ φᾶ, νὰ ξεφαντώσω,
παρὰ βουλὴν μοῦ ἔστειλες καὶ ἦρτεν νὰ μὲ 'πάρῃ.
Ῥωτᾷ την καὶ 'ξανοίει την ποιὰν ἀπᾷ ὁ Ῥήας.
— Ἐγὼ, κυρὰ μου Ῥήαινα, χαππάριν 'ἐν τὸ ἔχω.
Κατέβην ἕναν τὸ σκαλὶν, καὶ 'σούστη καὶ 'λυΐστη,
κατέβην καὶ ἄλλο τὸ σκαλὶν καὶ νιφτοκανακίστη,
τέλεια 'ς τὸ κάτω τὸ σκαλὶν τῆς Ῥήαινας καὶ λέει·
« ἄ, 'δὲ τὴν τουμπομέτωσην, τὴν τουμπομετωποῦσαν,
τὸ πετεινάριν τὸ τσιφνὸν 'κεῖνο 'ποῦ μοῦ 'λαλοῦσαν! »
Ἡ Ῥήαινα 'ἐν ἄκουσεν, ἡ σκλάβα της ἀκούει·
« ἄ, 'δὲ, κυρά μου Ῥήαινα, Ἀροδαφνοῦ 'ντα σοῦ 'πε·
ἄ, 'δὲ τὴν τουμπομέτωπην, τὴν τουμπομετωποῦσαν,
τὸ πετεινάριν τὸ τσιφνὸν 'κεῖνο 'ποῦ μοῦ 'λαλοῦσαν. »
Χαππάρκα καὶ μηνύματα πάλαι 'ς τὴν Ῥοδαφνοῦσαν
— Ἔλα νὰ 'πᾶμεν, Ῥοδαφνοῦ, κ' ἡ Ῥήαινα σὲ θέλει.
— Τώρά 'μουν εἰς τὴν Ῥήαιναν, καὶ πάλ' ἴντα μὲ θέλει; »
— Ἄνου νὰ πᾶμεν, Ῥοδαφνοῦ, κ' ἡ Ῥήαινα σὲ θέλει.
Ἐμπῆκ' ἔσω καὶ 'φόρησε τὰ 'λόμαυρά της ῥοῦχα,
'ποκάτω 'φόρησε χρουσᾶ, 'ποπάν' τὰ 'λόμαυρά της,
μαυρίζει καὶ τὸ μῆλόν της, καὶ παίζει το καὶ πάει.
Ἀνέβην τό 'να τὸ σκαλὶν καὶ 'σούστη καὶ 'λυΐστη,
κὴ ἀνέβην τἄλλο τὸ σκαλὶν καὶ 'νιφτοκανακίστη,
'πάνω 'ς τὸ τρίτον τὸ σκαλὶν λέει της καὶ λαλεῖ της.
— ἴντα μὲ θέλεις, Ῥήαινα, καὶ ἴντ' ἔν' τὸ θέλημά σου;

— Ἔλα νὰ πᾶμεν, Ῥοδαφνοῦ, κὴ ὁ κάμινος ἀφταίνει.
— Ἔπαρ' μου Ἀλίην Ἀρομονὴν, Ἀλίην καρτερωσύνην,
νὰ βάλω μιὰν φωνὴν μικρὴν καὶ μίαν φωνὴν μεάλην,
πέρκιμ' ἀκούσ' ὁ Ῥήας μου καὶ Ἀρτῃ καὶ μ' ἀποσπάσῃ.
Ἀπάνου Ἀς τὸ φᾶ, Ἀπάνου Ἀς τὸ πιεῖ ὁ Ῥήας τὴν ἀκούει,
— μουλλῶστε οὖλα τὰ βκιολιὰ καὶ οὖλα τὰ λαοῦτα,
τούτ' ἡ φωνὴ Ἀποῦ Ἀξέβηκεν ἔν' τῆς Ἀροδαφνούσας·
καὶ φέρτε μου τὸν μαῦρόν μου σελλοχαλινωμένον —
Πηᾷ, καλλικεύκει τον Ἀσὰν ἦταν μαθημένος,
κὴ ὥστε νὰ Ἀπῇ, ἔχετε Ἀγειὰν, ἐπῆεν χίλια μίλια,
κὴ δσον νὰ Ἀποῦν, εἰς τὸ καλὸν, ἐπῆεν ἄλλα χίλια·
Ἀβρίσκει τὴν πόρταν βαδωτὴν, βάλλει φωνὴν μεάλην.
— Καὶ ἄνοιξέ μου, Ῥήαινα, Τοῦρκοι μὲ κατατρέχουν
— Ἔπαρ' μου Ἀλίην Ἀρομονὴν, Ἀλίην καρτερωσύνην,
γεναῖκα ἔχω Ἀς τὸ σελλὶν, πέρκιμου τὴν γεννήσω.
Κλωτσιὰν τῆς πόρτας ἔβωκεν, ἔξώ Ἀτουν καὶ ἔσω Ἀμπῆκε,
τρέχει καὶ πᾶ Ἀς τὸν κάμινον τὴν Ῥοδαφνοῦν καὶ βλέπει,
καὶ πιάνει καὶ τὴν Ῥήαιναν Ἀς τὸν κάμινον τὴν βάλλει.

Ἕτερον ᾆσμα τῆς Ἀροδαφνούσας.

Εἰς τὴν ἀπάνω γειτονιὰν ἔχει τρεῖς ἀερφάες,
τὴν μίαν λέσιν Χρυσταλλοῦν, τὴν ἄλλην λέν' Λενοῦσαν,
τὴν τρίτην τὴν καλλίτερην λέσιν Ἀροδαφνοῦσαν·
Ἀκείνην Ἀγαπᾷ κὴ ὁ βασιλεᾶς, Ἀκείνην Ἀγαπᾷ κὴ ὁ Ῥήας,
ὁ Ῥήας τῆς Ἀνατολῆς κὴ ὁ βασιλεᾶς τῆς Δύσης.
Ἡ Ῥήϊσσα Ἀποῦ τῶμαθεν, πολλὰ τῆς Ἀκακοφάνη,
χαπάρκα πέμπει τέσσερα τῆς Ῥοδαφνοῦς νὰ πάῃ.

Ἡ Ῥοδαφνοῦ, 'σὰν τῶμαθεν, 'χτύπησεν ἡ καργιά της,
κὴ ἀρκίνησε τὰ κλάμματα μὲ ὅλα τὰ σωστά της·
κὴ ἀπολοᾶτ' Ἀροδαφνοῦ καὶ λέει εἰς τοὺς δούλους.
— Ἴντα μὲ θέλ' ἡ Ῥήϊσσα, ἴντ' ἔν' ὁ ὁρισμός της;
ἐὰν μὲ θέλῃ γιὰ δουλειὰν, νὰ 'πάρω ἐρκαλεῖα,
εἰ δὲ καὶ ἔνῃ γιὰ χορὸν, νὰ πιάσω τὰ μαντήλια.
Οἱ δοῦλοι 'ποκριθήκασιν — ὡς γοιὰν ἐθέλεις πᾶμεν,
διότι βιαζόμεθα, πεινοῦμεν, θενὰ φᾶμεν.
Τότ' ἔμπη μέσ' Ἀροδαφνοῦ τὰ ροῦχά της ν' ἀλλάξῃ,
'πὸ μέσα βάλλει πλουμιστὰ, 'παπέξω χρουσαφένα,
τέλει' ἀπὸ 'πάνω ἔβαλε τὰ μαρκαριταρένα·
καὶ 'παίρνει καὶ μυριστικὰ καὶ λούνει τὸ κορμίν της,
'θαρροῦσε πῶς ἐπήαινεν εἰς τὴν ἰσότιμήν της,
καὶ ἕνα κλῶνον λασμαρὶν, νὰ μὲν τὴν πιάσ' ὁ ἥλιος,
καὶ μῆλον εἰς τὸ χέριν της καὶ παίζει το καὶ πάει.
Εἰς τὸ παλάτιν ἔμπηκε, στέκει διαλοϊσμένη,
στέκει καὶ διαλοΐζεται πῶς νὰ τὴν χαιρετήσῃ.
« Κὴ ἂν τῆς 'πῶ μουσκοκαρφεὰ, μουσκοκαρφεά 'χει κόγκλους,
κὴ ἂν τῆς εἰπῶ τριανταφυλλεὰ, τριανταφυλλεά 'χει 'γκάθια,
καὶ ἀς τὴν χαιρετήσωμεν 'σὰν πρέπει, 'σὰν 'ταιρκάζει.
— Ὧρα καλὴ, βασίλισσα καὶ Ῥήα θυγατέρα,
'ποῦ λάμπεις εἰς τὸν θρόνον σου 'σὰν ἄσπρη περιστέρα ».
Ἡ Ῥήισσα 'ποῦ τὴν θωρεῖ, ἐπροσηκώθηκέν της.
— Καλῶς ἦρτεν, Ἀροδαφνοῦ, νὰ φᾷ νὰ πιῇ μητά μου,
νὰ φάῃ τἄγριν τοῦ λαοῦ, νὰ φᾷ ὀφτὸν περτίκιν,
νὰ πιῇ γλυκόποτον κρασὶν 'ποῦ πίνουν ἀντρειωμένοι,
ὁποῦ τὸ πίνουν ἄρρωστοι καὶ 'βρέθουνται γιαμένοι.
Ἀροδαφνοῦ 'σὰν τ' ἄκουσεν, ἐχάρην ἡ καργιά της,
χρυσὴν τσαέραν ἔπιασεν καὶ 'κάθισε κοντά της.

— Τραντάφυλλόν μου κόκκινον κὴ ὁλόχρυση σαΐττα,
ἴντα θέλεις με, Ῥήϊσσα, καὶ 'μήνυσές μου κ' ἦρτα;
— Σοῦ 'μήνυσα γιὰ νὰ σὲ 'δῶ, νὰ κάτσῃς νὰ 'μιλοῦμεν,
καὶ 'πειτα νὰ συμφάωμεν, νὰ πᾷ νὰ συρκιανοῦμεν.
Ἀπὸ τὸ χέριν πιάνει την καὶ πᾶν εἰς τὸ περβόλιν,
καὶ ὅσοι ταῖς ἐβλέπασιν ταῖς ἐθαμμάζαν οὗλοι,
'σὰν ἀερφαῖς 'περάσασιν ἐκείνην τὴν ἡμέραν,
ἐπῆαν καὶ 'γλεντήσασιν κὴ οὖλον ἐσυρκιανοῦσαν,
κ' ἡ δοῦλαις ἡ παμπόνηραις ἀπὸ μακρὰν 'γελοῦσαν.
Ἡ 'μέρα ἐτελείωσεν κὴ ὁ ἥλιος πᾶ νὰ δύσῃ,
καὶ ἄρκισεν Ἀροδαφνοῦ γιὰ ν' ἀποχαιρετήσῃ.
— Σ' ἀφίνω 'γειὰν, βασίλισσα, χρυσῆς μηλεᾶς κλωνάριν,
'ποῦ 'χεις τὸν τράχηλον λευκὸν 'σὰν τὸ μαρκαριτάριν.
Κ' ἡ Ῥήϊσσα 'ἐν ἄκουσεν καὶ 'ἐν ἀπολογήθην,
κ' ἡ Ῥοδαφνοῦ ἐθύμωσεν, καὶ τότε πάλ' ἀρκίζει.
— Γιὰ 'δὲ τὴν τουμπομέτωπην, τὴν ἀναρκοδοντοῦσαν,
τὸ πετεινάριν τὸ φραχνὸν, καλὰ μοῦ τὸ 'λαλοῦσαν.
Ἡ Ῥήϊσσα 'ἐν ἄκουσεν, κ' ἡ βάαις της ἀκοῦσαν,
— ἄκου, κυρὰ, τὴν Ῥοδαφνοῦν ἴντα λαλεῖ γιὰ σένα·
εἶπέ σε τουμπομέτωπην καὶ ἀναρκοδοντοῦσαν,
τὸ πετεινάριν τὸ φραχνὸν, καλὰ τῆς τὸ 'λαλοῦσαν.
Ἡ Ῥήϊσσα 'σὰν τῶμαθεν, πολλὰ τῆς 'κακοφάνη,
καὶ πάλιν τὴν ἐπαύριον 'ς τὴν Ῥοδαφνοῦν χαππάριν.
— Ἄνου νὰ πᾶμεν, Ῥοδαφνοῦ, κ' ἡ Ῥήϊσσα σὲ θέλει.
— Καὶ χτὲς ἤμουν 'ς τὴν Ῥήϊσσαν, καὶ πάλ' ἴντα μὲ θέλει;
— Ἄνου νὰ πᾶμεν γλήορα, καὶ μένα 'ἐν μὲ μέλει.
Ἅμα τ' ἀκούει Ῥοδαφνοῦ 'χτύπησεν ἡ καργιά της,
καὶ τότε ἐθθυμήθηκε τὰ λόγια τὰ 'δικά της.
— Ἔπαρ' μου 'λίην 'πομονὴν διὰ νὰ συυρίσω,

γιατ' ἔχω φόον 'ς τὴν καργιὰν, 'πίσω 'ἐν θὰ γυρίσω.
Ἔχετε 'γειὰν, σπιτούδιά μου καὶ κλίνη 'ποῦ 'κοιμούμουν,
καὶ τσάμπρα ποῦ 'πινα καφὲν, κὴ αὐλὴ ποῦ 'συρκιανοῦσα·
κλειδόνω σε, σεντοῦκίν μου, καὶ πεὸν 'ἐν σὲ ἀνοίω,
σ' ἀποκοιμίζω, 'γυιοῦδίν μου, μ' ἄλλην θενὰ 'ξυπνήσῃς,
ἐγώ 'μαι 'ποῦ σ' ἐγέννησα κὴ ἄλλη θὰ σ' ἀναγυιώσῃ.
'Επῆρεν οὖλον τὸ στρατὶν κὴ οὖλον τὸ μοναπάτιν,
καὶ τότες ἡ 'Αροδαφνοῦ ἔφτασε 'ς τὸ παλάτιν.
Τὴν σκάλαν 'ποῦ ἐνέβαινεν ἔτρεμεν ἡ καργιά της,
κὴ ἡ 'Ρήϊσσά 'τον ἔτοιμη, κὴ ἁρπάσσει τὰ μαλλιά της.
— Θὰ σὲ σκοτώσω, βρὰ σκυλλοῦ, τώρα νὰ τὸ γνωρίσῃς,
γιατ' ἀαπᾷς τὸν ἄντρα μου, καὶ σοὺ θὰ μ' ἀφανίσῃς·
ἐχάρισά σου τὴν ζωὴν, μά 'θελες ν' αὐταδιάσῃς,
σήμερα ὅμως γνώρισε πῶς τὴν ζωὴν θὰ χάσῃς.
— Παρακαλῶ σε ἄφης με μιὰν ὥρα γιὰ νὰ ζήσω,
τὸν 'Ρήαν μου τὸν ὥμορφον νὰ τὸν 'ποχαιρετήσω.
Ἄρκισε τότε ταῖς φωναῖς, 'σὰν βοῦδιν νὰ μουγκρίζῃ,
καὶ μὲ τραούδια καὶ φωναῖς τέτοιας λογῆς ἀρκίζει.
— Ἔχετε 'γειὰν, ἀμμάδιά μου, ἔχε ὑγείαν, φῶς μου,
ἐγὼ πεὸν ἐτελείωσα καὶ φέβκω 'πὸ τὸν κόσμον.
'Ρήα μου, σ' ἀποχαιρετῶ μὲ δάκρυα, μὲ πόνους,
σ' ἀάπησα καὶ σ' ἀαπῶ, ἔχει τώρα 'χτὼ χρόνους·
σ' ἀάπησα ἀπὸ καργιᾶς, μὰ 'καργιοφλόϊσές με,
κ' ἡ ἄχαρη γεναῖκά σου τώρα 'θανάτωσέν με.
Καὶ βάλλει μιὰν φωνὴν μικρὴν καὶ μιὰν φωνὴν μεάλην,
κὴ ὁ 'Ρήας 'κεῖ ποῦ 'κάθετον ἐσούστη τὸ δρονίν του,
ἀμέσως ἐσηκώστηκεν, τοῦ δούλου του καὶ λέει
— φέρ' ἀπὸ 'κεῖ τὸν ἄππαρον τὸν πετροκαταλύτην
ποῦ καταλυεῖ τὰ σίδερα καὶ πίνει τὸν ἀφρίτην.

Πηᾷ καὶ 'καλίκεψεν εἰς τὸ γριβὶν ἁππάριν,
κὴ ὅσον νὰ 'πῇ, ἔχετε 'γειάν, ἔκοψε χίλια μίλια,
κὴ ὅσον νὰ 'ποῦν, εἰς τὸ καλὸν, ἄλλα 'κατὸν πεῆντα·
χαλιναρκὰν τ' ἁππάρου του, 'ς τὴν χώραν του ἐμπαίνει.
Ἂς 'ποῦμεν γιὰ τὴν Ῥήϊσσαν τῆς Ῥοδαφνοῦς 'ντα κάμνει·
τὴν ἔπιασε 'ποὺ τὰ μαλλιὰ, κόβκει τὴν κεφαλήν της,
καὶ τότες τῆς κακόμοιρης ἐβκῆκεν ἡ ψυχή της.
Νὰ καὶ ὁ Ῥήας ἔφτασεν, καὶ 'χτύπησεν τὴν πόρταν,
ἀλλοίμονον 'ς τὴν Ῥοδαφνοῦν ὁποῦ 'ν εἶχεν σόρταν!
κλωτσιὰν τῆς πόρτας ἔδωκεν, κ' ἡ πόρτα 'ξεκαρφώθη,
'σὰν εἶδεν τόσα αἵματα, 'λιοθυμᾶ, 'ν' νοιώθει.
ὅταν ἐξεζαλίστηκεν κ' ἤρτεν 'ς τὸν ἑαυτόν του,
γυρίζει 'ς τὴν βασίλισσαν, τρέμ' ἀπὸ τὸν θυμόν του.
— Γιατὶ τὴν ἐθανάτωσες, σκύλλα, τὴν κόρην τούτην;
θὰ σβύσω ἀπὸ 'πάνω σου ταῖς δόξαις καὶ τὰ πλούτη.
Ἄμε νὰ πᾷς 'πὸ δᾶ χαμαὶ, φτεῖρα 'ξεκονιδιάρα,
'ς τὸν σταῦλον νὰ τὴν δήσετε 'σὰν τὴν παληογαδάραν·
τὰ κόκκαλα τῆς Ῥοδαφνοῦς 'νὰ παραχρυσώσω,
καὶ σὲ, παληογαδάρα μου, τοὺς σκύλλους 'νὰ δώσω.
Ἀμέσως τὴν 'ξεκούμπισεν αὐτὴν 'ποὺ τὸ παλάτιν,
τὸ λείψανον τῆς Ῥοδαφνοῦς 'ς τὰ χέρκα του τὸ 'κράτει·
ἐμυρκολόα κ' ἔλεγε, μυρκολοᾷ καὶ λέει,
καὶ 'τρέμασιν τὰ χέρκα του, κὴ ἀρκίνησε νὰ κλαίῃ.
— Ἀροδαφνοῦ μου, 'μμάδιά μου, φῶς καὶ παρηορκά μου,
χρόνους ὀχτὼ 'ποῦ σ' ἀγαπῶ καὶ σ' ἔχω 'ς τὴν καρτιάν μου·
ἀγάπουν σε κὴ ἀγάπας με ἀγάπην πιστεμένην,
μὰ τώρα σ' ἐθανάτωσεν ἡ τρισκαταραμένη.
Ἀροδαφνοῦ μου, 'μμάδιά μου, ἐτέλειωσες γιὰ μένα,
καὶ 'γὼ 'γρικῶ τὰ μέλη μου πῶς ἔν' τελειωμένα.

Ἀγάπουν σε, κοκκώνα μου, κ' εἶχα κρυφὸν καμάριν,
καὶ τώρα σ' ἐθανάτωσαν καὶ 'ἐν τῶχα χαπάριν.
Ὁ ἥλιος ἐσβύστηκεν, καὶ 'χάθη τὸ φεγγάριν,
τέτοιαν φωτιὰν ποῦ 'ἐν σβύνει, ποιὸς θενὰ τὴν 'πομείνῃ;
τὰ σίδηρα κρεμάζονται εἰς τὴν κηνούρκαν πόρταν,
οὖλ' ἀγαποῦν καὶ χαίρουσιν, καὶ 'γὼ, χαρὰ 'ς τὴν σόρταν!
Μὲ πόνους καὶ μὲ βάσανα βαρεὰ ἀναστενάζει,
καὶ τὴν θανήν της νὰ γινῇ βασιλικὰ προστάζει.
Τὸ λείψανον ἐσήκωσαν, καὶ 'πῆαν νὰ τὸ θάψουν,
κὴ ὁ βασιλεᾶς ἐπρόσταξεν μεάλοι μικροὶ νὰ κλάψουν.
Ἐπῆράν την καὶ 'θάψαν την, καὶ κλαίουν οἱ 'δικοί της,
ἡ μάνα της, τ' ἀέρφιά της κὴ οὖλοι οἱ συγγενεῖς της.
Ζωὴν καὶ χρόνια νἄχουσιν ὅσοι τὸ ἀναγνώσουν,
κὴ ὅσοι τὸ ἀναγνώσουσι δυὸ δάκρυα νὰ δώσουν·
ὅσοι τ' ἀναγινώσκετε νὰ ἦστ' εὐτυχισμένοι,
κὴ ἀπὸ ἀγάπην λείψετε ὅσ' εἶστε 'παντρεμένοι.

GLOSSAIRE.

GLOSSAIRE.

Les mots marqués d'un astérisque sont d'origine étrangère.

Ἂ (ἄν), si.

Ἂ δὲ (ἄν δὴ), sinon.

Ἀβγάλλω (ἐκβάλλω), montrer. Voir Βγάλλω.

* Ἀβικάρης, vicaire.

* Ἀβιζιάζω et ἀβισγιάζω, aviser.

* Ἀβὶς, avis.

* Ἀβιτζάλης, officier.

Ἀβρωμίζω, salir.

Ἀγάπη, paix, conciliation.

Ἀγγάρα, guerre, corvée. V. Γκάρα.

Ἀγγαρίον, corvée.

Ἀγγαρόνομαι et ἀγκαρόνομαι, combattre.

Ἀγγοῦμαι (ὀγκοῦμαι), se gonfler de colère.

Ἀγγρίζομαι, se fâcher, s'irriter.

Ἀγγρισις et ἄνγκρισις, colère, irritation.

Ἀγελάρχης, surintendant du bétail royal.

Ἁγίασμαν, eau bénite.

Ἀγιάτρευτος, incurable.

* Ἀγιτιάζω, aider. Ἀγιτιάζομαι, s'assurer.

Ἀγκαλειῶ, ἀγκαλίω, ἀγκαλῶ (ἐγκαλῶ), citer devant un juge.

Ἀγκάλεμαν, citation devant un juge.

Ἀγκαλίζω, embrasser.

Ἀγκούρα, ancre.

Ἄγουρος (ἄωρος), non mûr.

Ἀγρελλίον, asperge.

* Ἀγρικῶ *(auricula)*, entendre.

Ἀγρωνίζω (γνωρίζω), connaître.

Ἀγρωνιζάμενος, connaisseur.

Ἀγρωνιμίδα, connaissance.

Ἀγυρεύγω (γυρεύω), chercher.

Ἀδελφότεκνος (ἀδελφιδοῦς), neveu.

* Ἀδετούρης, auditeur.

Ἀδήγητος, non préparé.

Ἀδίπλωτος, non plié.

Ἀελάρχης. V. Ἀγελάρχης.

Ἀζητῶ (ζητῶ), chercher.

Ἀθελῶς, involontairement.

Ἀθθύμησις (ἐνθύμησις), souvenir.

Ἀθθυμίζω (ἐνθυμίζω), faire rappeler.

Ἀθθυμοῦμαι (ἐνθυμοῦμαι), se souvenir.

Αἰγχμαλωτίζω. V. Αἰμαλωτεύω.

Αἰμαλωτεύω (αἰχμαλωτίζω), faire prisonnier. V. Μαλωτεύω.

Αἰχμάλωτον, esclave. V. Ἀμάλωτον et Μάλωτον.
Ἀκανετὸς (ἱκανὸς), suffisant.
Ἀκανέω et ἀκανητάω (ἱκανόω), suffire.
Ἀκλουθῶ (ἀκολουθῶ), suivre.
* Ἀκουμπίζω et ἀκουμπῶ, s'appuyer, s'appliquer.
Ἀκριβὸς, cher, avare.
Ἀκρίδα (ἀκρὶς), sauterelle.
Ἀκρόνομαι (ἀκροῶμαι), entendre.
Ἀκουγὴ, renommée.
Ἀκτυπῶ (κτυπῶ), battre.
* Ἀλεγρέτζα, gaîté.
* Ἀλεγριάζομαι, être gai.
* Ἀλέγρος, gai.
Ἀλιστερὸς (ἀριστερὸς), gauche.
Ἀλλάγιν (ἀλλαγὴ), changement de garnison.
Ἀλλάζω, changer de garnison.
Ἀλλαμᾶς (ἀλλὰ μὴν?), soit!
Ἀλλάμματον (ἄλλαγμα), changement.
Ἀλόγον et ἄλογον, cheval.
Ἀμάλωτον, esclave. V. Αἰχμάλωτον et Μάλωτον.
Ἀμαξίον, chariot.
Ἀμαχεύω, prendre en gage.
Ἀμάχιν, gage, ôtage.
Ἄμε, τὸ, départ. — Impératif du verbe ἄγω, va.
* Ἀμιράλης et ἀμιραλῆς, amiral.
* Ἀμιρᾶς, émir.
Ἀμμάτια (ὀμμάτια), yeux.
Ἀμμὲ (ἂν μὴ), mais.
* Ἀμουροῦζα, maîtresse.
Ἀμπέσω, de dedans. V. Ἀπέσω.
Ἀναβράκωτος, sans braies.
Ἀναγκάζουμαι, se presser.
Ἀναγκαστὸς, pressé.
Ἀναγυιόνω, nourrir, élever.
Ἀνακατόνομαι (ἄνω κάτω), se mêler, se troubler.
Ἀνακέφαλος, sans tête, sans maître.
Ἀνακομπόνω, lier l'habit au-dessous.
* Ἀναλογίον, pupitre.
Ἀναλοχὴ, tumulte.
Ἀναμαλλιάρης, homme à la chevelure désordonnée.
Ἀναμέσον et ἀναμέσα, entre.
Ἀναμιγὴ, mêlée, tumulte.
Ἀναμίγομαι, se mêler, se troubler.
Ἀναπὰ (ἀνάπαυσις), lieux d'aisances.
Ἀναπάλημαν. V. Ἀναπείλημαν.
Ἀναπαμείβω (ἀνταμ.), récompenser.
Ἀναπαμένος, tranquille, content. Ἀναπαμένα, à son aise.
Ἀναπαύω, être content.
Ἀναπειλάω, menacer, injurier.
Ἀναπείλημαν, menace, injure.
Ἀνασκούφωτος, homme à la tête découverte.
Ἀνασταίνω, revivre, fortifier.
Ἀνατολὴ, l'Orient, et surtout la Syrie et la Palestine.
Ἀναφαίνω et ἐνεφαίνω, apparaître.
Ἀνάφεντος, sans maître.
Ἀνὲν et ἂν ἔν (ἂν ἕνε), sinon.
Ἀνήμπορος, malade.
Ἀνηψίος, neveu et cousin.
Ἄνθρουπος (ἄνθρωπος), homme.
Ἀνθρῶποι, serviteurs.
Ἀνισῶς (ἂν ἴσως), si par hasard.
Ἀνοίγει ὁ καιρὸς, l'hiver passe et le printemps (gr. mod. ἄνοιξις) arrive.
Ἀνοικτάριν (ἀνοίγω), clef de la forteresse.
Ἀνοματίζω (ὀνοματίζω), nommer.
Ἀνομάτοι, hommes.
Ἀνόμιμος, homme du peuple.

'Ανορία (ἐνορία), paroisse.
'Αντάμα (ἐν τῷ ἅμα), ensemble.
'Ανταν (ὅταν), quand.
'Αντιβούλης, homme indécis.
'Αντιδυνάμης, protecteur.
'Αντικάνισκον, don en retour d'un autre. V. Κανίσκιν.
'Αντλογος, réponse.
'Αντὶς (ἀντὶ), à la place.
'Αντρας (ἀνὴρ), époux.
'Αντρία et ἀντριὰ (ἀνδρεία), bravoure.
'Αντροπὴ (ἐντροπὴ), honte.
'Αντροπιάζω, outrager.
'Ανυπόληητος, non chaussé.
'Ανυψηλότατος, très haut.
'Ανωρὰς (ἐνωρὶς), à temps.
'Αξ (ἐξ), de.
'Αξάγκωνα, par le dos.
'Αξάζω, valoir. 'Αξαζόμενος, précieux. V. 'Εξάζω.
* 'Αξαμινιάζω, examiner.
'Αξαμὸς, prix, valeur.
'Αξαναμηνάω, mander une seconde fois.
'Αξαπόλυτος, allant sans ordre. V. 'Αξαπολῶ.
'Αξαπολῶ (ἐξαπολύω), laisser. 'Αξαπολοῦμαι, débander.
'Αξαργῶ, tarder.
'Αξαρμάτωτος, désarmé.
'Αξάφνου (ἐξαίφνης), à l'improviste.
'Απαὶ (ἀπὸ), de.
'Απαίτορμος (ἀπότολμος), audacieux, vaillant.
'Απαντῶ, durer.
'Απάνω (ἐπάνω), sur.
'Απανωθιὸν (ἐπάνωθεν), au-dessus.
'Απαρματόνω et ἀποαρματόνω, désarmer.
* 'Απαστάντε, suffisant.
'Απεζεύω et ἀπεζεύγω, débarquer.
'Απεζὸς (πεζὸς), qui va à pied. 'Απεζὰ (πεζῇ), en prose.
'Απέσω, dedans.
'Απήδημαν, assaut.
'Απηδῶ (πηδῶ), s'élancer.
* 'Απλαζὶρ et ἀπλαζίριν, plaisir.
* 'Απλάκιν. V. 'Απλίκιν.
* 'Απλικεύω *(applicare)*, se loger.
* 'Απλίκιν, logement.
'Απλόνω, étendre.
'Απόβγαρμαν, sortie.
'Αποδιαβάζω, se passer, se débarrasser de quelqu'un par la ruse.
'Αποθαίνω, mourir.
'Αποθαρρῶ et ἀποθαρρίζω, se décourager.
'Απόθε et ἀπότε (ὁπόθεν), d'où.
'Αποκάμισον, chemise.
'Αποκάτω (ὑποκάτω), au-dessous.
'Αποκλείω, assiéger.
'Αποκλισιάρης (ἀποκρισιάρης), porteur d'une réponse, ambassadeur.
'Αποκομισθὴς, (κομιστὴς), porteur d'une lettre.
'Αποκόπτω, estimer une valeur à forfait.
'Απόκουππα, la tête en avant. V. 'Απούκουππα.
'Αποκρισιάρης. V. 'Αποκλισιάρης.
'Αποκρυαίνω, se réfroidir, avoir peur.
'Απολέγω, aor. ἀπῶπα, reprendre la parole.
'Απολογιάζω, se débarrasser, tromper.
'Απομακρίζω, éloigner.
'Απομεινίσκω (ὑπομένω), attendre, souffrir.
'Απομονὴ (ὑπομονὴ), patience.
'Απομονητικὸς, patient.
'Απόπαπας, ex-prêtre (insulte à un prêtre).

'Απορημνάω (ἀπομεριμνάω), rester tranquille.
'Αποσκεπάζω, distinguer, découvrir.
'Αποσκότισις et ἀποσκούτησις, tranquillité d'esprit.
Αποσπάζω, délivrer.
'Αποσταίνω, se fatiguer en marchant.
'Αποστηρνιάζω (ἀπο — οἰστρέω), se passer de l'amour.
'Αποστριγγίζω, décrier.
'Αποσώνω, arriver.
'Αποταγὴ (ὑποταγὴ), suite d'un prince.
'Απότε (ὀπόθεν), d'où.
'Αποτζουκίζω, défendre.
'Αποτζακίζω, plier, détourner quelqu'un d'un mauvais projet.
'Αποτορμία, audace.
'Απότορμος et ἀποτόρμος, audacieux.
'Αποτορμῶ, oser.
'Αποὺ (ἀπὸ), de.
'Αποῦ et ὁποῦ, que.
'Απούκουππα, la tête en avant.
'Απουλεύθερος (ἀπελεύθερος), affranchi, esclave.
'Απόφα et ἀπόφαν, ἡ, décision.
'Αποφουσκόνω, se gonfler, s'irriter.
Ἄπρεπος, inconvenant.
'Απτούμενος (ἅπτων), brûlant.
'Αράζω et 'ράζω, prendre terre (sur le navire).
'Αργὰ, tard.
'Αργαλεῖον et ἀργάλιον (ἐργαλεῖον), engin de guerre.
'Αργάτης (ἐργάτης), travailleur.
'Αργῶ, tarder.
'Αρεσκῶ (ἀρέσκω), plaire.
'Αρέτινον et ῥέτινον, rênes.
'Αρκεύω et ἀρκεύγω, commencer.
'Αρκοντιὰ, richesse.
Ἄρμα et ἅρμα, arme. Λᾶς τῶν ἁρμάτων, hommes de guerre.
* 'Αρμάδα, flotte.
'Αρμάζω (ἁρμόζω), marier.
'Αρμασία, mariage.
'Αρματόνω (ἑρματόω), armer.
'Αρμάτωμαν, armement.
'Αρματωσία et ἁρματωχία, armement.
'Αρμενίζω, naviguer.
Ἄρμενον, vaisseau.
'Αρμιρᾶς, amiral. V. 'Αμιράλης.
'Αρμυρὰ (ἁλμυρὰ), vivres conservées dans le sel.
'Αρνὰ (ἀρνὰς), brebis.
'Αρνάομαι (ἀρνέομαι), nier.
* 'Αρρέστα, ἡ, arrestation.
* 'Αρρεστιάζω, arrêter, dégaîner.
* 'Αρσηνάλιν, arsenal.
'Αρτζούνιον (ῥώθων), narine.
'Αρτία (ἀρχοντία), richesse.
'Αρτυματικὸν, épices pour faire une sauce.
'Αρχεύω, commencer. V. 'Αρκεύω.
'Αρχοντολόγιν, noblesse.
'Αρχοντυνίσκω, s'enrichir.
Ἄρχος et ἄρχοντας, *fém.* ἡ ἀρχόντισσα, noble, primat.
'Αρωτῶ (ἐρωτῶ), demander.
'Ας, que.
* 'Ασενίασμα, assignat, rente.
'Ασημένος, d'argent.
'Ασῆμιν, argent.
'Ασημοχρούσαφον, vases ou monnaies d'or et d'argent.
* 'Ασίζα, assise, loi.
'Ασκοφύσιν, soufflet.
'Ασπέρας (ἑσπέρας), le soir.
* Ἄσπρον *(asper)*, monnaie de Chypre équivalant à un besant.

Ἄσπρος, blanc. Γενουβίσος ἄσπρος, les sujets de Gênes habitant Chypre, probablement à cause de leurs habits blancs.

Ἀστενὴς et ἀστενημένος (ἀσθενὴς), malade.

Ἀστενῶ, tomber malade.

Ἀστοίχημαν. V. Στοίχημαν.

Ἀστοχίζω (ἀστοχέω), manquer le but.

Ἄσχημος, laid.

Ἀτζακίζω. V. Τζακίζω.

* Ἀτζάλιν, acier.

Ἄτζαλος (ἀτάσθαλος), sale.

* Ἀτζετιάζω, accepter, consentir.

Ἀτζίπωτος, insolent. V. Τζίπα.

Ἀτίμασμα, parole injurieuse.

* Ἄττον, acte, bravoure.

Ἄτυχος, pauvre.

Αὐγὴ, le matin. Αὐγὴ βαθεῖα, le crépuscule.

Αὐλὴ, cour d'un prince, conseil.

Αὔρι, lendemain.

Αὐτὶν, oreille.

Αὐταρκετὸς, suffisant.

Αὐταρκίζω, suffire.

Ἀφάλιν (ὀμφαλὸς), nombril.

Ἀφεντεύω, gouverner, posséder.

Ἀφέντης et ἀφέντες, seigneur.

Ἀφεντικὸς, ce qui appartient à un seigneur.

